Universitätsbibliothek Paderborn

# Theodōritu Episkopu Kyru Kai Eyagriu Scholastiku Ekklēsiastikē Istoria, Eklogai Apo Tōn Istoriōn Philostorgiu Kai Theodōru

**Theodoretus <Cyrrhensis>**

**Mogvntiae, 1679**

VIII. De Marciano Magistro militum, & de Nisibis obsidione.

urn:nbn:de:hbz:466:1-14162

Visual Library

ἐμπειρίᾳ. ἐπεγκαλοῦντα τοίνυν περὶ τούτων Χοσρόην, Ἰουστῖνος ἀπεπέμπετο, λέγων πεπεράσθαι τὰ τῆς εἰρήνης, καὶ μὴ οἷόν τε εἶναι χριστιανοὺς ἀποῤῥίψαι, ἐν καιρῷ πολέμου χριστιανοῖς προσρυέντας· καὶ ταῦτα μὲν ἀπεκρίνατο. οὐ μὴν ἐς πόλεμον παρεσκευάζετο. ἀλλὰ τῇ συνήθει τρυφῇ ἐνεδέδετο, πάντα δεύτερα τῶν οἰκείων ἡδονῶν τιθέμενος.

## Κεφ. η'.

Περὶ Μαρκιανοῦ στρατηγοῦ, καὶ τῆς πολιορκίας Νισίβεως. B

ΣΤρατηγὸν δὲ τῶν ἑῴων ἐκπέμπει Μαρκιανὸν συγγενῆ αὐτοῦ καθεστῶτα, οὔτε στρατείαν ἀξιόμαχον δοὺς, οὔτε τὴν ἄλλην τὴν ἐς τὸν πόλεμον παρασκευήν. ὃς ἐπὶ προὔπτῳ κινδύνῳ καὶ ἐπ' ἀνατροπῇ τῶν ὅλων, τὴν μέσην καταλαμβάνει τῶν ποταμῶν, ὀλίγους κομιδῇ στρατιώτας, καὶ τούτους ἀνόπλους ἐπισυρόμενος, ἔχων καί τινας σκαπανέας καὶ βοηλάτας ἐκ τῶν συντελῶν ἀφῃρημένους. συμπλέκεται μὲν οὖν ὀλίγα πρὸς Πέρσας περὶ τὴν Νίσιβιν, οὔπω οὐδὲ τῶν Περσῶν παρεσκευασμένων. καὶ τὸ πλέον ἐσχηκὼς περικάθηται τὴν πόλιν, οὐκ ἀξιωσάντων τῶν Περσῶν ἀποκλεῖσαι τὰς πύλας, ἐνυβριζόντων δὲ καὶ μάλα αἰσχρῶς ἐς τὸ Ῥωμαίων στράτευμα. τεράστια δὲ πολλὰ μὴν καὶ ἄλλα ὡρᾶτο, τὰ ἐσόμενα δυσχερῆ μηνύοντα. καὶ βοῦν δὲ ἀρτιγενῆ ἐθεασάμεθα κατ' ἀρχὰς τοῦ πολέμου, ᾧ δύο κεφαλαὶ ἐκ τοῦ αὐχένος ἐπῃώρηντο.

## Κεφ. θ'.

Ὡς ὁ Χοσρόης Ἀδααρμάνην στρατηγὸν κατὰ Ῥωμαίων ἐξαποστείλας, πολλὰ κακὰ τούτοις διαθέντα, πρὸς Νίσιβιν αὐτὸς ἀπῆλθεν. D

ΟΔὲ Χοσρόης, ἐπεὶ αὐτάρκως αὐτῷ τὰ ἐς τὸν πόλεμον ἐξηυτρέπιστο, Ἀδααρμάνην μὲν διαπορθμεύσας μέχρι τινὸς, καὶ τὸν Εὐφράτην ἀνὰ τὴν σφετέραν γῆν διαβιβάσας, ἐς τὴν Ῥωμαίων ἐπικράτειαν ἠφίει διὰ τοῦ καλουμένου Κιρκησίου. τὸ δὲ Κιρκήσιόν ἐστι πόλισμα Ῥωμαίοις ἐπικαιρότατον, πρὸς ταῖς ἐσχατιαῖς τοῦ πολιτεύματος κείμενον. ὅπερ ὀχυρὸν οὐ μόνα τὰ τείχη ποιεῖ, ἐς ἄπειρον ὕψος ἐπαιρόμενα. ἀλλὰ καὶ Εὐφράτης καὶ Ἀβόρας οἱ ποταμοὶ κυκλοῦντες, καὶ ὥσπερ ἀπονησοῦντες τὴν πόλιν· αὐτὸς δὲ σὺν τοῖς ἀμφ'

A cùm Chosroes conquestus esset, Justinus Legatos ejus cum hoc responso dimisit, terminatam esse pacem quæ inter ipsos facta fuerat, nec fieri posse ut Christiani Christianos belli tempore ad se confugientes rejicerent. Et hæc quidem respondit Justinus. Nec tamen se ad bellum gerendum paravit: sed consuetis deliciis immersus, libidinibus suis cuncta postponenda esse ducebat.

## CAP. VIII.

*De Marciano Magistro militum, & de Nisibis obsidione.*

PORRO Magistrum Orientalis militiæ misit Marcianum quendam, genere sibi conjunctum, nec justum exercitum, nec reliquum belli apparatum ei sufficientem tradens. Hic ad manifestissimum discrimen & ad subversionem omnium rerum in Mesopotamiam venit, perpaucos milites, eosque inermes secum trahens. Habebat etiam fossores quosdam ad bubulcos, quos Provincialibus eripuerat. Levi itaque prælio circa Nisibim conserto, C cùm ipsi etiam Persæ nondum ad bellum satis instructi essent, superior evasit: statimque urbem obsidione cinxit: Persis interim ne portas quidem occludere dignantibus, sed cum summo dedecore & contumelia illudentibus exercitui Romano. Et alia quidem multa tunc visa sunt prodigia, quibus mala quæ eventura erant indicabantur. Nos tamen initio belli, vitulum vidimus recens natum, ex cujus cervice capita duo prominebant.

## CAP. IX.

*Quomodo Chosroes cum Addarmanem ducem contra Romanos misisset, qui illos magnis cladibus affecit: ipse Nisibim perrexit.*

CHOSROES verò, posteaquam omnia quæ ad bellum erant necessaria abunde præparasset, ad certum usq; locum progressus, Euphrate in regione sua trajecto, Addarmanem quidem in Romanorum fines per Circesium emisit. Est autem Circesium oppidum commodissimum Romanis, in extremis Imperii finibus situm. Quod non muri solum in summam altitudinem erecti, verum etiam Euphrates & Abora fluvii munitissimum reddunt, totam urbem undiq; cingentes, ac veluti insulam efficientes. Ipse verò cum